Χριστὲ φάος μερόπων, πυρὸς στῦλε Σελδενικῆος
ψυχῇ πλαζομένῃ νῦν δι᾽ ἐρήμου ἁλός.
χὲς φαραῶ κακόμητιν, ἀναιδέας ἐργοδιώκτας,
εἰρήνην ἡμῖν κουροτρόφον δίδοθι.
ἀργαλέον πόλεμον, λοιμὸν, λιμόν τε νόσους τε,
οὐ δόθι, αἱρετικῶν ὕπνια ὦθε λόγων.
Αὐγουστόν τε Μαχαιροφόρον τ᾽ Ἔφορόν τε κυβερνῶν
σῶσόν τ᾽ εἰς πολλοὺς θέσκελα τέκνα χρόνους.
ἡμετέρην σῶσόν τε σχολὴν ἱεροῖς ἐπὶ βωμοῖς,
ἐν διδαχῇ, συνέσει, πίστει εἰλικρινεῖ,
γνωμονικούς τ᾽ ἄνδρας σῶσον, φάος ἕρμά τε ψυχῶν,
χρισοφόρους, αἰεὶ ἄγλα᾽ ἔσοπτρα νέων.
σῶσον χριστ᾽ ἡμᾶς σωτὴρ σύγε μοῦνος ὑπάρχων,
ὥστε κλύειν ὕμνοις αὖθι σ᾽ ἐν ἡμετέροις.
ἢδ᾽ ὅταν, ὦ, ἐθέλῃς, λῦσον χθονίων ἀπὸ δεσμῶν,
καί με χοροστασίην τάξον ἐς οὐρανίην.
Νῦν οὖν Γρηγορίοιο ἔπος, βιότου τε ἄσυλον
ὡς τέλος ἑσαμένοις προσφέρομαι μέλεσι.

## ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ θεολόγου.

Φεῦγ᾽ ἀπ᾽ ἐμῆς κραδίης δολομήχανε, φεῦγε τάχιστα,
φεῦγ᾽ ἀπ᾽ ἐμῶν μελέων, φεῦγ᾽ ἀπ᾽ ἐμοῦ βιότου,
Κλὼψ, ὄφι, πῦρ, βελίη, κακίη, μόρε, χάσμα, δράκων, θὴρ,
νὺξ, λόχε, λύσσα, χάος, βάσκανε, ἀνδροφόνε,
ὃς καὶ πρωτογόνοισιν ἐμοῖς ἐπὶ λοιγὸν ἐνῆκας
γεύσας τῆς κακίης, οὖλιε, καὶ θανάτου.